UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Apollonio Episcopo. 58.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

in argutatricem orationē incidas prolixitatem accuſes: verùm illud cogita non aliter eam, id quod quærebatur, perſpicuè declarare potuiſſe, niſi longo verborum ambitu vteretur. Nam ſi affirmandū duntaxat & pronunciandum ſit, breuis ſanè atque compendioſa ſit oratio. Si autem probandum & demonſtrandū, tum verò, vt in longum quidem extendatur, omnem autem redundantiam, atque earundem rerum repetitionem fugiat, neceſſe eſt.

οἷόν τε ἦν τὸ ζητούμενον, εἰ μὴ πολλῇ περιδρομῇ ἐχρήσατο. εἰ μὲν γὰρ ἀποφήνασθαι προκέοιτο, σύντομος ἔστω ὁ λόγος. εἰ δὲ ἀποδεῖξαι, ἀνάγκη καὶ εἰς μῆκος μὲν ἐκταθῆναι. πᾶσαν δὲ περιττότητα, καὶ ταυτολογίαν διαφυγεῖν.

Apollonio Epiſcopo. 58.

Si humanas affectiones (quodquidem dictu quoque nefas eſt) per omnia ſequatur is, qui diuinam generationem deſcribit, hæc ad eum verba habere æquum fuerit. Si circa partum affectionem fingis: & ego item circa creationem. Neque enim id quod creatur (ſi hominum imbecillitatem ſequar) ſine affectione creatur. Sin autem, vt diuinitati magis conſentaneum eſt, ea, quæ ipſius naturę congruunt, accipiat, quę autem abſurda & inconcinna ſunt, tranſiliat, illud cogitare debet, quòd vt mortalis cum affectione gignit, ita cōtrà immortalis ſine affectione ac libidinum ſenſu, nō ſecus videlicet atque ille cum labore aliquid creat, hic autem citra laborem. Hæc enim diuinus quoque Paulus animo complectens, ac, velut diuino numine inſtinctus, terrena omnia exempla ſuperans, ſplendorem gloriæ, ac figuram paternæ ſubſtantiæ Filium eſſe ſtatuit, per prius nimirum coæternitatem, per poſterius autē exemplum ipſius ſubſtantiam ſignificans.

Ἀπολλωνίῳ ἐπισκόπῳ. νη.

Εἰ μὲν τοῖς ἀνθρωπίνοις πάθεσιν, ὅπερ οὐδ᾽ εἰπεῖν θέμις κατὰ πάντα ἕποιτο ὁ τὴν θείαν γέννησιν ὑπογράφων, ἀκοῦσαι ἂν εἴη δίκαιος, ὅτι εἰ σοὶ πάθος πλάττεται περὶ τὸν τόκον, κἀμοὶ περὶ τὴν κτίσιν. οὐ γὰρ τὸ κτιζόμενον, εἰ τῇ τῶν ἀνθρώπων ἀκολουθήσαιμι ἀσθενείᾳ, ἀπαθῶς οἶδα κτιζόμενον. εἰ δὲ θεοπρεπέστερον τὰ μὲν πρέποντα καταδέξοιτο. τὰ δὲ ἀπηχῆ παραπεμπεύσειεν ἐννοῆσαι ὀφείλει, ὅτι ἐπειδὴ ὁ θνητὸς ἐμπαθῶς γεννᾷ, ὁ ἀθάνατος ἀπαθῶς. ὥσπερ οὖν καὶ κτίζων ὁ μὲν μετὰ πόνου, ὁ δὲ ἀμογητὶ κτίζει. ταῦτα γὰρ ἐννοήσας, καὶ ὁ θεσπέσιος Παῦλος, καὶ ὥσπερ ἔνθους γενόμενος πάντα τὰ γήϊνα παραδείγματα ὑπερνηξάμενος ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτῆρα τῆς ὑποστάσεως τῆς πατρικῆς, τὸν υἱὸν εἶναι ὡρίσατο διὰ μὲν τοῦ πρώτου τὸ συναΐδιον. διὰ δὲ τοῦ δευτέρου παραδείγματος, τὸ ἐνυπόστατον μηνύων.

Zoſimo Presbytero. 59.

Quibus iam oculis animos tuos (ſi tamen amicos vllos habes) aſpicies, qui homini de te bene merito atque amico inſidias comparaſti? Nam ille, vt audiui, ſecuriori animo tecum verſabatur: quòd nihil ſe ab te ex inſidiis perpeſſurum exiſtimaret, vt qui huius rei certiſſimum pignus ſibi habere videretur, beneuolentiam ac

Ζωσίμῳ πρεσβυτέρῳ. νθ.

Ποίοις ὀφθαλμοῖς εἰς τοὺς φίλους ἔπι τοὺς σαυτοῦ εἴγ᾽ ἔχεις φίλους βλέψεις, ἀνθρώπῳ εὐεργέτῃ καὶ φίλῳ ἐπιβουλεύσας. ὁ μὲν γὰρ ἀδεέστερον ὡς ἐπυθόμην, συνῆν ἀναμφισβήτητον ἐνέχυρον οἰόμενος ἔχειν, τοῦ μηδὲν ἂν ἐξ ἐπιβουλῆς παθεῖν τὸ τῆς εὐνοίας, καὶ τὸ τῆς εὐεργεσίας μέγεθος. σὺ δὲ καὶ αὐτοὺς τοὺς

UNIVERSITÄTS-BIBLIOTHEK PADERBORN